# Βυζαντινοί Ιστορικοί και Χρονογράφοι ΙΙ

**Διδάσκων: Αναπλ. Καθηγητής Αθανάσιος Αγγέλου**

## 5η ενότητα: «Ο γεωγραφικός ορίζοντας των βυζαντινών ιστορικών»

# Κύρια σημεία του μαθήματος

Εξετάζεται το εύρος του γεωγραφικού ορίζοντα των ιστορικών της περιόδου, συγκρίνεται αυτό με τον ορίζοντα προηγούμενων ιστορικών , όπως του Προκοπίου και επιχειρείται αιτιολόγηση των συνεχειών και αλλαγών στην θέση πού καταλαμβάνει η γεωγράφηση του χώρου εντός της όλης αφήγησης. Εξετάζεται ο κλειστός τύπος , μητροπολιτικός η ακόμη και ανακτορικός, του Ψελλού, η περίπτωση της Κομνηνῆς, η μετακίνηση του γεωγραφικού εστιασμού στον

## Κύρια σημεία του μαθήματος (συνέχεια)

Χωνιάτη, η διόδευση του χώρου στον Καντακουζηνό, καθώς και θέματα όπως η χωρογράφηση ως λόγος αυτοτελής, συνεχόμενος ἠ ασυνεχής, η σχέση με την αρχαία γεωγραφία. Ειδικότερες πτυχές σχετίζονται με τον εσωτερικό, τον ‘κτιστό΄χώρο, κυρίως την Αγία Σοφία, την σημαντική του συμβολισμού της, την θέση της στην ιστοριογραφία από τον Προκόπιο μέχρι τον Καντακουζηνό, επίσης ως χώρο ασύλου και τις θεολογικές προϋποθέσεις αυτού, αλλά και ὡς χώρο μουσικής.

# Ακολουθούν τα υπό εξέταση κείμενα του Νικήτα Χωνιάτη

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 58-71)

Ἔνθεν τοι καὶ δεδοικυῖα μὴ συλληφθείη, ταῖς τε πύλαις τοῦ νεὼ ἐφίστησι φύλακας καὶ πάσας τὰς εἰσόδους διαλαμβάνει φρουραῖς, τὸν τῆς προσευχῆς οἶκον διασκευάζουσα πρὸς ληστήριον ἢ φρούριον ἐχυρὸν καὶ ἀπότομον, δυσάλωτον τοῖς προσβάλλουσιν. ἀεὶ δ' ἐπεκτεινομένη τοῖς χείροσι καὶ προβαίνουσα τοῖς οὐκ ἐπαινετέοις καὶ συμμαχικὸν τάγμα ξενολογεῖ καὶ τίθησι στρατόπεδον τὸν θεῖον περίβολον. καὶ Ἰταλιώτας γὰρ συναγήοχεν ὁπλομάχους καὶ μεγαθύμους ἔφους ἐστρατολόγησεν Ἴβηρας, κατ' ἐμπορίαν τῇ πόλει παραβαλόντας, καὶ Ῥωμαίων ὁπλιτεύουσαν ἐπεσπάσατο φάλαγγα, ἐμπαζομένη μηδενὸς τὰ πρὸς εἰ|ρήνην αὐτῇ κατεπᾴδοντος, μήτ' αὐτὸν τὸν πατριάρχην ὑποστελλομένη ἐμβριθῶς ἐγκείμενον καὶ μάλα κοτέοντα, καὶ πολλάκις πρὸς ὀργὴν ἐπιπλήττοντα.

Καὶ ξύμπαν μὲν οὖν ἑτέρας πόλεως ἀλογίᾳ χαίρει τὸ πλῆθος καὶ τὴν ἐπί τι ῥοπὴν δυσμαχώτατόν ἐστι· τὸ δὲ τῆς Κωνσταντίνου φιλοταρα-

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων 58-71)

**50** ἃ — ἔμελλεν: cf. Hom. B 36 **51** ὡς — διαφεὶς: cf. p. 8, 90 **59—60** τὸν — ληστήριον: cf. Mat. 21, 13 **67** τὰ πρὸς εἰρήνην: Luc. **14**, 32; 19, 42

VA = a, PW, RMDF = b

**48** ἀποσπασθῆναι A$^{s}$: ἀπεκσπασθῆναι V: ἀποβληθῆναι AW **49** ὡς om. R **50** τελέεσθαι: πέρας λαβεῖν APW Sc ἤμελλεν AW Sc: ἤμελλον P **53** ἠβούλετο: ἡρέτιστο A$^{mgγρ}$P **55—56** βασιλέως δ' ἔλεγον τ. τ. πρ. ἀπαξάπαντες ἐπιτάγματα AP, ubi ἀπαξάπαντες i. r., W **57** προελθεῖν om. W **60** διασκευάζουσα: διαλαμβάνουσα V **61** ὀχυρὸν R προβάλλουσιν WF ἐκτεινομένη P **62** ἐπαινετέοις A$^{mgγρ}$: -τοῖς V (οὐχ) ὁσίοις AW ξυμμαχικὸν Bekk **63** στράτευμα M **64** γὰρ om. VN **65** κατ' — παραβαλόντος om. V παραλαβόντος W: παρεμβαλόντας R **66** ἐμπαζομένη A$^{mg}$: ἐπιστρεφομένη AW δὲ post ἐμπαζομένη add. V **68** μάλα om. AW κοτέοντα: πατρικῶς (πρακτικῶς Bekk) ὑποτιθέμενον τὸ πρακτέον AP$^{pc}$WSc Bekk: γρ. μάλα πατρικῶς ἐπιπλήττοντα A$^{mg}$ καὶ πολλάκις: πολλάκις δὲ καὶ APW Bekk **69** ἐπιπλήττοντα: ἀποπέμποντα A$^{mgγρ}$ P **70** ξυμπάσης AW: -αν A$^{s}$ ἑτέρας: τῆς W τὸ λαῶδες πλῆθος cum b scr. A τὸ λαῶδες πλῆθος ἀλογίᾳ χαίρει Bekk **71** ἀγοραῖον post Κωνσταντίνου add. APW Bekk

**55—56** βασιλέα δέ τις λέγων . . . . φησὶν (φημὶ DF) b **70** τὸ πλ.: τὸ λαῶδες πλῆθος b Bekk

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

χώτατον μάλιστα, προπετείᾳ χαῖρον καὶ σκολιάζον ταῖς ὁδοῖς, ὅσῳ καὶ ἐκ διαφόρων πολιτεύεται τῶν γενῶν καὶ τῇ τῶν τεχνῶν ποικιλίᾳ συμμεταποιοῦται, ὡς εἴποι τις, τὸ φρονεῖν. ἐπειδὴ δὲ ἀεὶ τὰ χείρω νικᾶν εἴωθε καὶ ἐν πολλοῖς ὄμφαξι μίαν ῥᾶγα πεπανθεῖσαν μόλις εὑρήσει τις, διὰ τοῦτο οὔτε λόγῳ ἐφ᾽ ὁτιοῦν χωρεῖ, οὔτε μετὰ προμηθείας ἐφίσταται οἷς ἐφορμήσειεν, ἀλλ᾽ ὅπῃ μὲν πρὸς στάσιν καὶ φήμῃ μόνῃ μεθαρμοζόμενον πυρός ἐστι δραστικώτερον, χορεῦον οἷον κατὰ ξιφῶν καὶ προβλῆσι καὶ κύμασι κωφοῖς ἀνθιστάμενον, ὅπῃ δὲ κατεπτηχὸς ὡς ψοφοδεὲς καὶ τὸν αὐχένα παντὶ τῷ βουλομένῳ παρέχει πατεῖν. εἰκότως οὖν ὡς ἀστασίαν ἤθους νοσοῦν καὶ παλιμβολώτατον διαβέβληται. οὔτε οὖν ἑαυτοῖς ποτε τὰ κάλλιστα πεφώρανται πράξαντες οἱ τῆς Κωνσταντίνου οἰκήτορες, οὔθ᾽ ἑτέροις εἰσηγουμένοις τὰ κοινωφελῆ ἐπειθάρχησαν, ἀεὶ δὲ τἀναντία ταῖς εὐδαιμονούσαις παρακαθιστάντες πόλεσιν, ὅσα γῆ καὶ θάλασσα τούτοις δορυφορεῖ, ἐπ᾽ ἀνηνύτοις εἰς ἑτέρας | πόλεις ἀλλοεθνῶν διαφοροῦσι καὶ μεταγγίζουσι. τὸ δὲ πρὸς τοὺς κρατοῦντας ἀδιάφορον ὡς ἔμφυτον αὐτοῖς κακὸν συντετήρηται· ὃν γὰρ ὡς ἐννόμως σήμερον ἐξαίρουσιν ἄρχοντα, τοῦτον ὡς κακοεργὸν ἐς νέωτα διασύρουσι, τοῦτό τε κἀκεῖνο παριστῶντες μὴ σὺν λόγῳ ποιεῖν ἀνεπιστημοσύνῃ τοῦ κρείττονος καὶ τῷ εὐριπίστῳ τοῦ φρονήματος.

Ἦν οὖν τηνικαῦτα ὁρᾶν κατὰ συλλόγους ἀθροιζομένους καὶ ἀγειρομένους κατὰ συστήματα, οἳ καὶ πρῶτα μὲν ἠλευθεροστόμουν τὴν μὲν πορφυρογέννητον Μαρίαν δῆθεν οἰκτείροντες ὡς παρ᾽ ἀξίαν πάσχουσαν, τοῦ δὲ πρωτοσεβαστοῦ καταβοώμενοι ὡς μὴ σὺν λόγῳ εὐπραγοῦντος μηδ᾽ ὡς χρὴ τῇ τύχῃ χρωμένου καὶ κατὰ τῆς τοῦ βασιλέως ἠγανάκτουν
1 μητρός. κατὰ μικρὸν δὲ προϊόντες καὶ εἰς στασιασμὸν ἀνερρώγεσαν καί τις τῶν ἱερέων ἔκτυπον τοῦ Χριστοῦ ἐπ᾽ ἀγορᾶς παρενεγκὼν καὶ ἄλλος

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

**72** σκολιάζον ταῖς ὁδοῖς: Prov.14,2 **74—75** τὰ — εἴωθε: fort. prov. **78** πυρὸς — δραστικώτερον: cf. p. 167, 54 **79** κύμασι κωφοῖς: cf. Hom. Ξ 16 **91—12** ἦν — ἀνέφλεγε: cf. Eust. 26, 19—21

---

VA = a, PW, RMDF = b

**72** αὐτοῦ post ὁδοῖς add. V **73** τῶν pr. om. P Bekk **74** εἴπη DF Bekk ἐπεὶ VMD ἀεὶ om. D **76** προθυμίας VDF Bekk μεθίσταται VRM **77** οἷς: οἷς ἂν AW οὐ προσηκόντως post ἐφορμήσειεν add. AP Bekk καὶ φήμη μόνη πρὸς στάσιν V **79** καὶ πεπτηχὸς V **80** καὶ om. A **82—83** οἱ . . . οἰκήτορες V: οἱ . . . ξύγκλυδες (σύγκλ. Bekk) ὄχλοι $A^{mg}$P Bekk: τὸ . . . ἀγοραῖον σύστημα AW **83** καὶ σωτηρία post κοινωφελῆ add. APW Bekk **84** τὰ ἐναντία R παρακαθίσαντες P **85** δωροφορεῖ Bekk εἰς om. M **86** διαφεροῦσι Bekk **87** ἔννομον $A^{s}$ PW **91** καὶ post ὁρᾶν add. Bekk **92** συστήματα $A^{mg}$: συστοιχίας AW **95** ἠγανάκτου V: ἠγανακτοῦντος M **2** τοῦ om. AW

**76** οὔτε λόγῳ: οὔτε σὺν λόγῳ τὸ τοῦ πολιτεύματος ἀγοραῖον (ἀγοραῖον om. M) b Bekk **83** οἰκήτορες: δημόται b **2** ἐνεγκὼν b Bekk

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

ἄρας σταυρὸν ἐπωμάδιον καὶ ἕτερος σημαίαν ἱερὰν ἀνεμώσας ὡς γλάγος μυίας τοὺς στασιαστὰς ἐπεσπάσαντο. καὶ ὥσπερ ὑφ᾿ ἑνὶ συνθήματι κινηθέντες τὸν μὲν βασιλέα εὐφήμοις ἐδεξιοῦντο φωναῖς (τοῦτο δὴ τὸ τῶν ἐς νεώτερα χωρούντων ἔργα τεκμήριον ἐκ καλλίστης καταρχομένων ἀρχῆς τὰ μέντοι τελευταῖα βλεπόντων εἰς ἐπανάστασιν), τὸν δὲ πρωτοσεβαστὸν καὶ τὴν δέσποιναν καθυπέβαλλον ἀναθέματι. οὐκ ἐς αὐτὸ δὲ μόνον ἕδρων ταῦτα τὸ Μίλιον, ἀλλὰ καὶ κατ᾿ αὐτὴν τὴν τῆς λαμπρᾶς ἱπποδρομίας σφενδόνην | παραγενόμενοι καὶ ἀφορῶντες εἰς τὰ ἀνάκτορα. καὶ τοῦτο ἐφ᾿ ἡμέρας συχνὰς γινόμενον ἐξεκύμαινε τὸν δῆμον καὶ εἰς στάσιν ἀνέφλεγε. καὶ εἰς αὐθάδειαν οἱ πολλοὶ τραχυνόμενοι οἴκους λαμπροτάτους κατέσπασαν καὶ τὰ ἐντὸς τούτων διήρπασαν οἷς διαφερόντως ἔβλεπον ἥμερον ὅ τε πρωτοσεβαστὸς καὶ ἡ δέσποινα· σὺν οἷς καὶ τὸ τοῦ Παντεχνῆ Θεοδώρου περικαλλὲς οἴκημα, ἐπάρχου ὄντος τῆς πόλεως καὶ τὸ τῶν οἰκειακῶν διέποντος σέκρετον τῷ δικαιοδοτικῷ τε θρόνῳ ἐμπρέποντος. καὶ αὐτὸς μὲν ἐξήλυξε δρασμῷ τὸ πεσεῖν· τὰ δ᾿ ἐνόντα διαρπασάμενοι οὐδ᾿ αὐτῶν τῶν δημοσίων τόμων ἀπέσχοντο, οἷα τὸ μὲν χρήσιμον ἐχόντων κοινῇ διαβαῖνον πρὸς ἅπαντας ἢ τοὺς πλείονας, ἀφαυρὸν δὲ τὸ ἐκ τοῦ ἰδιώσασθαι κέρδος καὶ μηδ᾿ ὅσον τὸν ἐκείνων ἐδίανεν ἂν οἰνοποτάζοντα φάρυγγα.

Οἱ περὶ τὸν πρωτοσεβαστὸν τοίνυν ὁρῶντες ἀεὶ τὰ χείρω προβαίνοντα σκέπτονται βουλὴν καθιζήσαντες, ὅπως τὴν λύμην στήσωσι ταυτηνί. καὶ ἐπεὶ κατ᾿ οὐδένα τρόπον ἑώρων τὴν καισάρισσαν Μαρίαν τῶν οἰκείων βουλευμάτων μεθισταμένην ἢ βραχύ τι γοῦν ὑπενδιδοῦσαν τῶν ὑπερόγκων ζητημάτων, ἃ προυτείνετο, ἔγνων διὰ πολέμου ἐπ᾿ ἐκείνην χωρεῖν καὶ ὡς ἀπό τινος ἐρύματος τοῦ θείου ἐξελάσαι νεώ.

# **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

**3—4** ὡς — μυίας: cf. Hom. Π 641—3  **15—17** τοῦ — ἐμπρέποντος: cf. Eust. 20, 25—29

---

VA = a, PW, RMDF = b

3 ὥρας om. M  γλάγος VAN Bekk: γλάγγος A[mg] rel.  4 ἐφ' V  5 δὴ: δὲ Bekk 6 ἀρχομένων P  8 οὐ κατ' αὐτὸ V  9 ἀθροιζόμενοι post ἕδρων add. P Bekk: post ταῦτα AW  ταῦτα om. P  τὴν om. M  λαμπρᾶς om. R  10 παραγινόμενοι AWMD  ἐς APWRMD  τὰ οὕτως ἀπρεπῆ (εὐπρεπῆ P) διεπράττοντο post ἀνάκτορα add. APW Bekk  11 γινόμενον: τελούμενον A[mgyp] P: γενόμενον M  12 τραχυνόμενοι οἱ πολλοὶ V  τραχυνόμενοι: ἐκτρεπόμενοι A[mgyp] P  15 τὸ περικαλλὲς τοῦ Π. Θ. οἴκημα P  Παντεχνοῦς M  17 διεμπρέποντος D  πεσεῖν A[mg]: θανεῖν AW 17—18 τὰ δὲ ὄντα V: τὰ δὲ χρήματα B  18 τόμων: τόπων A  οἳ τὰ δίκαια τῆς πολιτείας παρὰ τῶν πρώην βασιλέων ἔχουσιν ὑπογεγραμμένοι post ἀπέσχοντο add. et 19 ἐχόντων om. B Bekk  19 οἷα: καὶ Bekk  τὸ: τὸ ἐκείνου R  21 ἐκείνου V οἰνοποτίζοντα D  23 ὅπως: ὡς ἂν V  26 ἅπερ P  προετείνετο V  ἔγνω V: ἔγνωσαν AW  ἐπ': ὑπ' WD  27 ἐξιλεώσαι M  ταύτην post ἐξελάσαι add. APW Bekk

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων- συνέχεια)

Συλλεγέντος τοίνυν οὐκ ὀλίγου στρατεύματος ἐκ τῶν ἑῴων τε καὶ ἑσπερίων | ταγμάτων καὶ πάντων ὡς εἰς ἓν συναθροισθέντων στρατόπεδον τὸ μέγα παλάτιον, ὁ ἐπιτήδειος χῶρος ἀνεδιφᾶτο, καθ᾽ ὃν ἂν τοῖς ἐπὶ τοῦ ναοῦ ἐπίθωνται· ἤδη γὰρ καὶ ἡ καισάρισσα πρὸς τὴν ἀντίταξιν ἡτοιμάσατο διακριθῆναι πολέμῳ τὰ καθ᾽ αὐτὴν ἐθέλουσα. οὐκοῦν ὅσαι τῷ ἱερῷ οἰκίαι κατὰ τὸν Αὐγουστεῶνα συνήπτοντο, παρὰ τῶν ὑπ᾽ αὐτὴν ἀπερράγησαν καὶ τῆς μεγίστης ἁψῖδος ἄνωθεν, ἥτις κατὰ τὸ Μίλιον ἵσταται, οἱ ἀπ᾽ αὐτῆς ἀνήλθοσαν τοῖς βασιλικοῖς ἀντιπλακησόμενοι. καὶ τὸν νεὼν δέ, ὃς τοῦ Ἀλεξίου κατονομάζεται, τῇ δὲ τοῦ Αὐγουστεῶνος αὐλαίᾳ προστήνωται, στρατιῶται εἰσιόντες ἐφύλαττον.

Αὐτοὶ μέντοι οἱ βασιλικοὶ καθ᾽ ἡμέραν ἑβδόμην, δευτέραν τοῦ Μαΐου μηνὸς τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐκ τοῦ μεγάλου παλατίου κατὰ τὸ περίορθρον ἐκθορόντες εἰσίασι τὰ πρῶτα τὸν τοῦ θεολόγου Ἰωάννου ναόν, ᾧ τὸ ἐπίκλην Διίππειον, στρατίαρχον ἔχοντές τινα Σαββάτιον Ἀρμένιον. ἔπειτα τοῦ τεμένους ἄνωθεν γενόμενοι ἀσήμους λαλαγὰς ἠφίεσαν. ὡς δ᾽ ἐνειστήκει καιρὸς τοῦ μάχεσθαι, περὶ τρίτην ὥραν οὔσης τῆς ἡμέρας καὶ πληθούσης μάλιστα τῆς ἀγορᾶς, οὐ μετρίως τοὺς ἐκ τῆς ἁψῖδος τοῦ Μιλίου καὶ τοὺς ἀπὸ τοῦ νεὼ τοῦ Ἀλεξίου μαχομένους ὁπλίτας τῆς καισαρίσσης ἐσίνοντο οὗτοι, ἐξ ὑπερδεξίων μαχόμενοι καὶ ὡς ἀφ᾽ ὕψους σκηπτοὺς ἐπαφιέντες κάτω τὰ βέλεμνα. ἀλλὰ καὶ ἑτέρων καταλόγων εὐοπλοτάτων τοῦ παλατίου ἐξιόντων καὶ τὰς ῥυμίδας πληρω- | σάντων καὶ τοὺς στενωποὺς διαλαβόντων, ὁπόσοι πρὸς τὸ μέγα τέμενος φέρουσιν, ὅ τε δῆμος τοῦ ἐπιβοηθεῖν τῇ καισαρίσσῃ ἐπαύσατο διὰ τὸ πᾶσαν πάροδον τοῖς ὅπλοις ἀποταφρεύεσθαι καὶ οἱ ἐκ τοῦ ἱεροῦ ἐπεξιόντες

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

**40** revera (die 2 mens. Maii) indictionis decimae quartae (1. 9. 1180—31. 8. 1181), uti ex Guil. Tyr., l. c., constat; unde reicienda videtur interpretatio: sabbato altero mensis Maii decimae quintae indictionis (i. e. 8. 5. 1182)

---

**39 — 240, 46** αὐτοὶ — μαχόμενοι: cf. Eust. 26, 12—17

---

VA = a, PW, RMDF = b

**29** ὡς om. VAR    ὡς εἰς ἕν: εἰς ὦ M    **31** τοῦ om. M    **32** ἡτοιμάζετο P    κατ' αὐτὴν V Sc: καθ' ἑαυτὴν P    θέλουσα V    **33** ὅσα . . . οἰκία κατὸν Αὐγ. V    τῷ μεγίστῳ ἱερῷ APW Bekk    **35** ἀπ' αὐτῆς: ταύτης V    **36** στρατεύμασι post ἀντιπλακησόμενοι add. $AP^{pc}W$ Bekk    **39** ἡμέραν ζ', τοῦ Μαΐου μηνὸς δευτέραν A **40** ιε' APMDF    ἰνδ. per symb. APWMDF    **41** τοῦ et Ἰωάννου om. M    **42** τούπικλην W    Διίππιον VAW: Δίιππον P: Δίππιον R    **43** ἀσήμας λαλὰς M ἀλαλαγὰς R    **44** ὥραν om. D    **45** μάλιστα om. V    **48** (σκη)πτοὺς ἐπαφιέντες κάτω i. r. 10 litt. P κάτω om. V    **50** ὁπόσα DF    **52** πᾶσαν: πᾶσιν Bekk    πάροδον $VA^{mg}$ γρ P: τρίοδον AW

**31** νεῷ P b Bekk    Μαρία post καισάρισσα add. b    **48** κάτω τὰ βέλεμνα: τὰ βέλεμνα κάτωθεν b    **49** ῥυμίδας: διόδους b Bekk    **50** διειληφότων b Bekk **52** ἄμφοδον (ἀφ- F Bekk) b

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

καὶ τὴν αὐλαίαν τοῦ Αὐγουστεῶνος ὑπερβαίνοντες καὶ τοῖς βασιλικοῖς κατὰ τὰς ἀγυιὰς συμπλεκόμενοι, ὀλίγοι πρὸς πλείους διαμιλλώμενοι, δῆλοι ἦσαν κάμνοντες ἤδη καὶ κατὰ βραχὺ τοῦ θαρραλέου ὑπεκλυόμενοι λήματος.

Καὶ οὕτω δ᾽ οὖν τὰ τῆς συμπλοκῆς ἐνειστήκει λαμπρῶς καὶ μάχη συνέρρωγε κρατερά, ἡ μὲν ἀπὸ τόξων βολῆς, ἡ δὲ καὶ ἐν χερσὶν ἀγχώμαλος, καὶ στόνος μὲν τῶν πληττομένων ἐπικελευσμὸς δὲ τῶν ἀναιρούντων ἑκατέρωθεν ἐξηκούετο. ἕως μὲν οὖν σταθερᾶς μεσημβρίας ἦν ἡ μάχη ἀμφιπαλὴς καὶ ἡ νίκη ἀμφήριστος, ἐπ᾽ ἴσης τὰς τῶν ἀμφοτέρων στρατευμάτων ταλαντεύουσα πλάστιγγας κλίνουσά τε ἀνὰ μέρος καὶ αὖθις ἀνάγουσα τὸ τότε μαχόμενον· τῆς δ᾽ ἡμέρας ἤδη ὑπολη γούσης περιφανὴς ἡ νίκη τοῖς ἐκ βασιλέως προσέρρεψεν. ὠσάμενοι γὰρ τοὺς ἐκ τοῦ νεὼ εἴσω τοῦ Αὐγουστεῶνος κατέκλεισαν ἐκ τῶν ἀμφόδων ἀποκρουσάμενοι· τούτων δὲ συνειληθέντων ἐντός, καὶ οἱ ταῖς ἀψῖσιν ἐφεστῶτες καὶ οἱ ἐκ τοῦ νεὼ τοῦ Ἀλεξίου διαμαχόμενοι πρὸς τροπὴν ἔβλεψαν. καὶ ὡς ἐπελάβοντο τῶν χώρων τούτων, ὁ τοῦ βασιλέως στρατὸς τὰς μὲν σημαίας τῶν ἀψίδων ἄνωθεν ἔστησαν, αἳ τοὺς βασιλεῖς ἀπεικάζουσιν, αἱ δὲ πύλαι τοῦ Αὐγουστεῶνος ἐν πελέκει καὶ λαξευ|τηρίῳ κατερράγησαν· καὶ τὸ τῆς καισαρίσσης ὁπλιτικὸν οὐκέτι ἀντιπίπτειν ἔχον ὡς τοῖς ἐκ τῶν ἀψίδων κατὰ κορυφὴν οὖσι βαλλόμενον κἀκ τῶν εἰσχεθέντων εἰς τὴν αὐλαίαν στρατιωτῶν ταῖς κατὰ χεῖρα συμπλοκαῖς πάσχον τὰ χείριστα κατὰ μικρὸν ὑπέκλεπτε τὴν φυγήν, βραχείας ἀρωγῆς εὐμοιροῦν διά τε λίθων βολῆς καὶ βελῶν ἀφέσεως ἐκ τῶν ὕπερθεν ἐπαμυνόντων κατά τε τὸν ἐν τοῖς Κατηχουμενείοις ἀνδρῶνα τὸν λεγόμενον Μάκρωνα ἐς τὸν Αὐγουστεῶνα προνεύοντα καὶ τὸν Θωμαΐτην αὐτόν. τέλος δὲ τοῖς πάντοθεν βάλλουσιν οἱ ἐκ τοῦ νεὼ πιεζόμενοι ἀφίστανται τῆς τοῦ Αὐγουστεῶνος αὐλαίας καὶ

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

60—64 ἕως — προσέρρειψεν: cf. Hom. Π 777 sqq. 70 ἐν — κατερράγησαν: cf. Ps. 73, 6

---

VA = a, PW, RMDF = b

53 στρατοῖς post βασιλικοῖς add. $AP^{pc}W$ Bekk 56 λήματος M Bekk: λήμματος rel. 58 καρτερά D Bekk καὶ om. M 59 μέντοι M 60 σταθηρᾶς VPD 61 στρατῶν V 64 προσέρρευσεν DF 66 ἐν τῇ ἁψῖδι P: τῇ ἁψῖδι $A^{s}$ τοῦ Μιλίου post ἁψῖσιν (ἁψῖδι) add. APWB Sc Bekk 67 μαχόμενοι P Bekk 69 εἰκονίζουσιν cum P b scr. $A^{mg}$ 71 ἀντιπίπτειν: ἀντιπλήττειν Bekk 72 κάκ: καὶ RM τὴν αὐλαίαν: τὸν Αὐγουστεῶνα $A^{mg\gamma\rho}$ P 74 τε om. V 75 ἀμυνομένων V τε om. V 78 οἱ om. Bekk τῆς ἐκ τοῦ Αὐγ. V

61—62 τὰς τῶν . . . πλάστιγγας: τῶν . . . τὰς πλάστιγγας b Bekk 65 κατέκλεισαν —ἀποκρουσάμενοι: ἐκ τῶν πλατειῶν ἀπεκρούσαντο b 69 εἰκονίζουσιν P b Bekk 71—72 ὡς τοῖς ἀνιοῦσι τὰς ἁψῖδας κατὰ κορυφὴν βαλλόμενον b Bekk 72 αὔλειον b Bekk 74 εὐμοιροῦν: ἀπολαῦον P b Bekk 75—77 ἐπαμυνόντων σφίσι Ῥωμαίων ἀπό τε τοῦ ἀνδρῶνος τοῦ λεγομένου (καλουμένου Bekk) Μάκρωνος ἐς τὸν Αὐγουστεῶνα προνεύοντος καὶ τοῦ συνημμένου τούτῳ Θωμαΐτου δόμου b Bekk

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

εἰσίασι τὸ πρόναον, καθ᾽ ὃ δὴ ὁ πρώτιστος καὶ μέγιστος τῶν παραστατούντων ἀρχαγγέλων θεῷ ἐσπασμένος ῥομφαίαν ἐστήλωται ψηφίδων λεπταῖς ἐπιθέσεσι, φύλαξ προβεβλημένος τοῦ ἱεροῦ. ἐκ δὲ τούτου οὔτε οἱ τοῦ βασιλέως προσωτέρω βαίνειν ἠδύναντο ὑποπτεύοντες τοὺς τοῦ ναοῦ στενωπούς, οὔτε οἱ τῆς καισαρίσσης ὑπερπονοῦντες ἐκεῖθεν ἐξῄεσαν ὡς μαχούμενοι.

Ὁ δὲ καῖσαρ καὶ ὁ πατριάρχης αὐτός, ὁ μὲν δείσας περὶ ἑαυτῷ τε καὶ τῇ ἀλόχῳ, μὴ συλληφθεῖεν ἀγεννῶς ὑπὸ τῶν διαφόρων, ὁ δέ, μή πως ἔνδον τοῦ ἱεροῦ παρεισίωσιν οἱ πολέμιοι καὶ ποσὶ μὲν οὐχ ὁσίοις τὸ ἅγιον πατήσωσι δάπεδον, χερσὶ δὲ ἀνάγνοις καὶ θερμὸν ἔτι σταζούσαις τὸ αἷμα τὰ παναγῆ ληστεύσωσιν ἀναθήματα, ὁ μὲν τὴν ἀρ|χιερατικὴν στολὴν ἐπενδὺς καὶ τὰ θεῖα μετὰ χεῖρας δεξάμενος λόγια κάτεισιν εἰς τὸ προσκήνιον τοῦ νεώ, ἐν ᾧ οἱ τῆς καισαρίσσης ὑπερμαχοῦντες ηὐλίσθησαν φεύγοντες, ὃ καὶ Πρωτεκδικεῖόν φασι, ὁ δὲ καῖσαρ τοὺς τὰς εἰσόδους τῆς ἐκκλησίας τηροῦντας ὁπλομάχους ἀγχηχῶς καὶ ὅσον περὶ αὐτὸν ἀκραιφνὲς ἔτι Λατινικὸν δορυφορικὸν καὶ τὸ περὶ τὴν ὁμόλεκτρον αὐτοῦ θεραπευτικὸν καὶ οἰκίδιον καὶ περὶ τοὺς ἑκατὸν τοὺς πάντας ἠριθμηκὼς ἐπί τινος μετεώρου σκιμποδίου κατὰ τὸν Μάκρωνα παρευρεθέντος στὰς αὐτὸς καὶ περιστήσας τοὺς παρεσκευασμένους εἰς πόλεμον ἔφησε τοιάδε·

„Ἐχρῆν μὲν μὴ καθ᾽ ὁμοφύλων καὶ ὁμοπίστων, ἀλλὰ κατὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ τὰς πολεμικὰς ταύτας περιβεβλῆσθαι στολὰς καὶ τὰς χεῖρας τοῖς φασγάνοις καθωπλίσθαι· ἐπεὶ δὲ οἱ τὰ τῆς βασιλείας Ῥωμαίων μοχθηρῶς διέποντες τοῦτο μὲν ἀφείλοντο, ἀναγκαστῶς δὲ καὶ οὔκουν προαιρετῶς τὰς ἡμετέρας λόγχας καθ᾽ ἑαυτῶν ἀκονήσαντες ἔχουσι, μὴ δὴ ἀγεννῶς ἐπιστῶμεν τοῖς ἐπιοῦσι, μηδ᾽ ὅτι ταυτόπιστοι καὶ

# **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

**3—4** τῶν ἐχθρῶν τοῦ σταυροῦ: Phl. 3, 18

---

VA = a, PW, RMDF = b

**79** τὸν πρόναον V    καὶ μέγιστος om. V    **80** Μιχαὴλ post θεῷ add. APW Bekk: τοῦ ἀρχιστρατήγου Μιχαὴλ B    **81** δὲ: δὴ M    **83** ἐπεξῄεσαν APW    **84** μαχόμενοι RD    **85** μέν: μὲν καὶ V    αὐτῷ M    **87** ἅγιον etiam B: ἱερὸν V    **88** δ' DF Bekk    τὸ om. AW    **89** ληστεύουσιν R: συλήσωσιν P    ἀναθέματα Bekk    **90** προσκήνιον τοῦ νεὼ ARMDF Bekk: πρόναον τοῦ ναοῦ V: πρόναον A^mgγρ PW Sc    **91** ἠλίσθησαν AP Bekk: εἰλίσθησαν R: ἡλίσθησαν M^ac    **92** ὁ δὲ καῖσαρ: ὁ (om. V: suppl. A^s) καῖσαρ δὲ VAW    **93—94** ἀκραιφνὲς ἔτι om. VB    **95** ρν' A: ἑκατὸν πεντήκοντα PW Bekk: ἑκατὸν καὶ πεντήκοντα Sc    τοὺς alt. hab. e corr. P    **1** σκίμποδος AW    εὑρεθέντος W    **2** τοιαδὶ APW    **3** καί: μηδ' P    **5** ὁπλίζεσθαι APW    **6** ἀφείλαντο V    ἀναγκαστικῶς M    **7** προαιρετικῶς P    αὐτῶν D    **7—8** ἀκονήσαντες — ὅτι: ἃ M    **8** ἀντιστῶμεν V

**82** ὑφορώμενοι b Bekk    **88** τὸ αἷμα: τὸ λύθρον (τῷ λύθρῳ F Bekk) b    **92** ὁ (ὃ καὶ Bekk) πρωτεκδικεῖον κικλήσκεται b Bekk    **95** τοὺς alt. om. b Bekk    **1** σκιμποδίσκου b Bekk

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

ὁμογενεῖς ἀναλογισώμεθα, ἀλλ᾽ ὡς πολεμίους θεοῦ πρότερον, οὗ τὸ ἱερὸν τόδε εἰσίασιν ἀναιδῶς, ἔπειτα δὲ καὶ ἡμῶν αὐτῶν ἀντιπάλους ἀμυνώμεθα. πάντως δέ εἰσι τὰ τῆς ἀμύνης ἀνεύθυνα· οἷς γάρ τι οὐ προσέστημεν ὅλως καὶ καθ᾽ ὧν ὅπλα οὐδ᾽ ὅλως ἠράμεθα, οὗτοι ἀνερυθριάστως ἡμῖν προσίασιν ὡς ἐπιθανατίοις καὶ ἐσχάτοις καὶ κειμένων | ἀδαημοσύνῃ κατεπεμβαίνουσι τοῦ καλοῦ καὶ προσρυομένους θεῷ ἐκ τοῦ νεὼ τούτου ἀποσπᾶν ἐθέλουσι, χρεὼν μὴ οὕτω ποιεῖν, ὅτι τε οὐδὲν ἄχαρι ἐπεγκαλεῖν ἡμῖν ἔχουσι καὶ ὅτι τῆς ἐσχάτης ἐστὶν ἀπονοίας ἐπιτιμᾶν ὅλως ἢ ὡς δεινὰ δρῶσιν οὐκ ἐνδιδόναι τοῖς εἰς θεὸν καταφεύγουσι καὶ μεσίτην τοῦτον προβαλλομένοις καὶ διαλλακτῆρα τῶν ἐν διχονοίαις ἡμῶν.

Οὔτε οὖν ὑφορᾶσθαι δέον ὡς ἀνόσιον τὸ ὑπερμάχεσθαί τινα ἑαυτοῦ καὶ σπεύδειν κατὰ τοῦ πλήττοντος αὐτὸν ἐπιστρέφειν τὸν ἐκεῖθεν ἐπαγόμενον θάνατον, οὔτε τὸν μετὰ ξίφους ἐπιόντα καὶ ἀναιροῦντα ὁμογενῆ ἀπλῆγα δεῖ παριέναι, ἀλλ᾽ ἅπας κακῶς διατιθεὶς κρινέσθω πολέμιος καὶ ὁ ἀναιρήσων πιπτέτω. ἡμῖν δὲ καὶ τὸ θεῖον εἴσεται δήπουθεν χάριν, εἰ ἐκ τοῦ ἱεροῦ τοῦδε τοὺς μιαιφόνους ἀποσοβήσομεν, εἴτε μὴν κεχηνόσιν, ὡς ὁρᾶτε, κατὰ τῶν ἁγίων καὶ διαρπάσαι ταῦτα προθυμουμένοις ἀντιβαίημεν. εἰ γὰρ μὴ τοῦτ᾽ ἦν καὶ διέστελλον ἀνὰ μέσον βεβήλου καὶ ἱεροῦ, πάλαι ἂν τὴν ἐνδοτέρω τῶν προνάων παρῆκαν ὁρμὴν ὡς ἤδη τὸ νικᾶν ἔχοντες. οἱ δὲ οὕτω τοί εἰσιν ἀναιδέστατοι, ὡς οὐ μόνον σκυλεῦσαι φαντάζεσθαι τὰ ἡμέτερα, ἀλλὰ καὶ τὰ τοῦ θεοῦ ἰδιώσασθαι οἱ ἀβέλτεροι. ἀλλ᾽ οὐ μὰ τὸν παγέντα σταυρῷ καὶ τὴν λόγχην ταύτην, οὔκουν αὐτοῖς ἐσεῖται πέρας ἐπιθεῖναι τοῖς ἐγχειρήμασιν, ἐπεὶ καὶ θεῷ τὰ οἰκεῖα χερσὶ κεχραμέναις ἄψαυστα διαφυλαχθήσονται καὶ ἡμεῖς ἐσοίμεθα ἂν ἀπρονόμευτοι.“

Τούτοις καὶ | τοιούτοις χρησάμενος ῥήμασιν αὐτός τε κάτεισιν εἰς τὸν πρόναον, ἔνθα ὁ λόγος εἴρηκε ῥομφαίαν ἐσπασμένον ἵστασθαι τὸν τῶν

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

35 εἴρηκε: p. 238, 79—81

---

VA = a, PW, RMDF = b

9 θεῷ F Bekk 11 τὰ om. W προσέστηκεν V μηδόλως W 13 προσίασιν: προσθέουσιν P 15 μηδ' D τε: δὲ W 18 λυτῆρα cum. P b scr. A^s τῶν — ἡμῶν V: τῶν διενέξεων cum. PW b scr. A 22 διατεθεὶς D 23 εἰ om. M 25 ταῦτα om. V 26 εἰ γὰρ μὴ τοῦτ' ἦν καὶ V: εἰ μὴ γὰρ τοῦτ' ἦν καὶ A 27 παρῆκαν ante τὴν trp. P ἐνδότερον V τοῦ προνάου VW: τοῦ προτεμενίσματος A ὁρμήν: εἰσβιάζετήν σθαι πάροδον A^mg γρ P 34—35 τὸν πρόναον V Bekk: τὸ πρόναον APWDFB: τὸ πρόσναον RM 35 ἵστασθαι: ἀνεστηλῶσθαι P τὸν om. W

9 ὁμογενεῖς: τὴν αὐτὴν οἰκοῦντες b Bekk 10 ἀντιπάλους: ἀπεχθεῖς b Bekk 12—13 ἀνερυθριάστως οὗτοι προσίασιν ἡμῖν ὡς ἐπιθανατίοις τισὶ καὶ ἐσχάτοις b Bekk 15 δρᾶν b Bekk 17 οὐκ ἐνδιδόναι: ἀρειμανίους σφᾶς ἐπιέναι b Bekk 18 διαλλακτῆρα: λυτῆρα P b Bekk τῶν — ἡμῶν: τῶν διενέξεων PW b Bekk 19 ὡς: ὡς ὅλως b 26 εἰ μὴ γὰρ τοῦτ' ἦν ἀλλὰ PW b Bekk 27 ὁρμήν: λίχνευσιν (λόγχευσιν R) b Bekk

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

ἄνω καὶ θείων ταγμάτων κατάρχοντα Μιχαήλ, καὶ οἱ λοιποὶ δὲ ὡς ἡγεμόνι τούτῳ παρείποντο ἀσπιδηφόροι πάντες καὶ ἀτεχνῶς ἀνδριάντες χάλκεοι. κἀκεῖσε εἰς τάξιν τὸ περὶ αὐτὸν καταστήσας καὶ τῷ σταυρικῷ σημείῳ φραξάμενος τῶν ἄλλων προεκπηδᾷ. οἱ δ' ἐπὶ τῆς τοῦ Αὐγουστεῶνος αὐλαίας καὶ πρὸς τὴν πρώτην ὁρμὴν διαταραχθέντες τοῦ καίσαρος διὰ τῶν εἰσόδων θλιβόμενοι ἐξεχέοντο, ὅτε καὶ τραυματίαι μὲν ἐκ τῶν τοῦ βασιλικοῦ τάγματος πολλοὶ γεγόνασιν, εἷς δέ τις καὶ ἐτεθνήκει τῷ ξίφει διελαθείς.

Τὸ δ' ἀπὸ τοῦδε ὁ μὲν καῖσαρ ἐπάνεισιν αὖθις ὅθεν ἐξώρμησεν, οἱ δ' ἐκ τῶν τοῦ βασιλέως τάξεων οὐκέτι παρελθεῖν ἐθάρρησαν εἰς τὴν αὔλειον, ἀλλὰ δι' ἀκροβολισμῶν ἠγάπων μαχόμενοι. ἤδη δὲ τῆς ἡμέρας ὑποκλινούσης αὐτοί τε οἱ μαχόμενοι καμόντες ἐνέδωκαν, καὶ τοῦ πατριάρχου στείλαντος εἰς τὴν δέσποιναν τὸν ἑαυτοῦ ὑπηρέτην, ὃς ἐκ τοῦ παραβάλλειν εἰς τὰ ἀρχεῖα καὶ διαπορθμεύειν τοῖς βασιλεῦσι τὰ βουλητέα καὶ τὰς ἀποκρίσεις ἐκεῖθεν αὖθις μεταφέρειν παλατῖνος ὠνόμασται, καὶ πρῶτα μὲν τὴν θείαν ἐπεμβριμησαμένου ταύτῃ ὀργὴν οὕτως ὀξυδερκοῦσαν καὶ καθορῶσαν ἀκαρῆ τὰ ὁπουδήποτε δρώμενα ἄθεσμα, ἔπειτα δὲ τὰς περὶ σπονδῶν τῆς καισαρίσσης διαμεμηνυκότος φωνάς, ἀφικνεῖται λυτὴρ τῶν διαφορῶν | ὁ μέγας δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος, ὁ μέγας ἑταιρειάρχης Ἰωάννης ὁ Δούκας καὶ συχνοὶ ἕτεροι, τὸ γένος ἀριπρεπεῖς καὶ μεγίστοις περίβλεπτοι ἀξιώμασι.

Καὶ τότε μὲν νυκτὶ μᾶλλον πεισθέντες ἢ ταῖς καταλλαγαῖς τεθαρρηκότες τὸν ἀγῶνα διέλυσαν, τῇ δ' ὑστεραίᾳ καὶ αὖθις πρὸς πόλεμον διηρρένωντο. τῶν δ' αὐτῶν καὶ πάλιν παραγενομένων ἀνδρῶν καὶ πίστεις δόντων τῇ καισαρίσσῃ καὶ τῷ ταύτης ἀνδρὶ καὶ ὅρκοις κρατυναμένων αὐτὰς καὶ πληροφορίαν παρασχομένων ὡς οὐκ ἂν τι πάθοιεν

---

58 τῇ δ' ὑστεραίᾳ: die 3 mens. Maii 1181

---

57 νυκτὶ . . . πεισθέντες: cf. Hom. H 282; al.

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

**58** τῇ δ' ὑστεραίᾳ: die 3 mens. Maii 1181

---

**57** νυκτὶ . . . πεισθέντες: cf. Hom. Η 282; al.

---

VA = a, PW, RMDF = b

**37** καὶ μαχαίρας ἀμφήκεις χειριζόμενοι (ἐγχ. Bekk) post πάντες add. APW Bekk ἀδριάντες AW **38** ὁ καῖσαρ post καταστήσας add. APW Bekk **40** πρώτην om. V: hab. B: προτέραν R **41** τραυμάται P **41—42** ἀπὸ τῶν βασιλικῶν B **41** τῶν om. V **42** βασιλέως R ἐγεγόνεισαν V **42—43** εἰ . . . διαλαθεὶς W **44** μὲν om. V: hab. B **45** τοῦ om. V ἐθάρρουν APW εἰς om. APW **49** εἰς τὰ ἀρχεῖα: ἀρχείοις P τοῖς om. P οἱ post τά add. V **50** αὖθις ἐκεῖθεν Bekk ὠνόμαστο R **51** ἐπεμβρ. τὴν θείαν R ἐμβριμησαμένου V: ἐπεμβρισαμένου A ταύτην R **52** ἐν ἀκαρεῖ P Bekk **53** διαμεμενηκότος W: διαμεμενηκότες R **54** διαφορῶν: ἐν ἀμφιδόξων AW: μηνυμάτων (μηνιμάτων Bekk) ἀμφοτέροις τοῖς μέρεσιν $A^{mg\,γρ}$ P Bekk: ἀμφιβόλων Sc **54** ὁ Κονταστέφανος Ἀνδρόνικος V **56—57** ἀξιώμασι — τεθαρρηκότες om. M **60** κρατυνομένων AW: βεβαιωσάντων Sc

**40** διαταραχθέντες: ἐκθαμβηθέντες b Bekk **53—54** τῶν διαφορῶν: τῶν ἐν ἀμφινοίαις b

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων-συνέχεια)

ἀηδές, οὔτε μὴν ἀφαιρεθεῖεν τὴν οἰκείαν ἐπιτιμίαν πρὸς τοῦ ἀδελφοῦ καὶ βασιλέως ἢ τῆς μητρυιᾶς δεσποίνης ἢ τοῦ πρωτοσεβαστοῦ Ἀλεξίου, ἀλλὰ δὴ καὶ ἀμνηστίας κακοῦ δωρηθείσης οἵπερ αὐτοῖς προσεχώρησαν καὶ εἰς συμμάχους ἐνεγράφησαν, οὕτω δὴ τῆς δευτέρας ἀπέσχοντο συμπλοκῆς. καὶ οἱ μὲν ἀπῄεσαν εὐθὺς μετὰ τὴν τῶν ὅρκων καὶ τῶν σπονδῶν ἐκπεράτωσιν, νυκτὸς δ᾽ ἐπιστάσης ὁ καῖσαρ καὶ ἡ τούτου ξύνευνος ἐξίασι τοῦ νεὼ καὶ ἀφικνοῦνται πρὸς τὸ μέγα παλάτιον, καθ᾽ ὃ τότε οἱ κρατοῦντες διέτριβον.

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων-συνέχεια)

**75** τὴν — ἔριν: cf. Hes. Op. **11** sqq. 24 **77—82** εἰ — βουλεύσασθαι: cf. Flav. Ios. Bell. Iud. 6, 24 sqq. **83—84** οἵ — ἐποίησαν: cf. Ps. 145, 6

---

VA = a, PW, RMDF = b

**63** ἢ alt.: καὶ A **64** πασιν post καὶ add. V πάντες εὕρωσι ἀμν. B **65** δὴ om. V **66** τῶν alt. om. R **70** τοιοῦτον VRDB τὸν καίσαρα A$^{s}$: τὴν καισάρισσαν AWB **71** τοιαύτας V: ταύτης R συνέστη V Bekk **73** ἀφίησι W **76** πλήσαντες VRD$^{ac}$? **77** εἶποι R Bekk οὐκ ante ἐνόχους add. V στρατηγός: βασιλεὺς F **78** Τίτος PWRMDF ὁ πρὶν ἐπὶ τὴν 'Ιερ. P **80** ἐκπηδῶντος om. R συντάγματος AW καὶ om. R **84** τιμὴν: τιμωρίαν R **86** ἀρχιτεκτόνησαν V **89** βουλεύμασιν P οἰκείας: ἐκείνου R

**64** δοθείσης b Bekk **71** ἐπιστάσας: ἐπενέγκας b Bekk